ЗАПИСКИ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.

MÉMOIRES
DE
L'ACADÉMIE IMPÉRIALE DES SCIENCES DE ST.-PÉTERSBOURG.

VIIIe SÉRIE.

ПО ИСТОРИКО-ФИЛОЛОГИЧЕСКОМУ ОТДѢЛЕНІЮ. | CLASSE HISTORICO-PHILOLOGIQUE.

Томъ VIII. № 11. | Volume VIII. № 11.

# „ВИДѢНІЕ"

# ДІАДОХА, ЕПИСКОПА ФОТИКІЙСКАГО

## ВЪ ЭПИРѢ.

---

В. Н. Бенешевича.

---

*(Доложено въ засѣданіи Историко-Филологическаго Отдѣленія 4 апрѣля 1907 г.).*

С.-ПЕТЕРБУРГЪ. 1908. ST.-PÉTERSBOURG.

Digitized by Google

Напечатано по распоряженію Императорской Академіи Наукъ.
Октябрь 1908 г. Непремѣнный Секретарь, Академикъ *С. Ольденбургъ.*

Типографія Императорской Академіи Наукъ. (Вас. Остр., 9-я л., № 12).

Digitized by Google

GENERAL BOOKBINDING CO.
80 53 S
495T 005
QUALITY CONTROL MARK
2016

# „Видѣніе“ Діадоха, епископа Фотикійскаго въ Эпирѣ.

Греческій текстъ небольшой статьи, входящей въ составъ разныхъ редакцій древне-славянской толковой Кормчей: «По вопросамъ и по отвѣтамъ бесѣда св. Діадоха откровеніе»[1]), до сихъ поръ указанъ[2]) только въ Bodl. Canonic. 15 chart. XV saec. л. 168—174 и въ Bodl. Barocc. 69 chart. XIV saec.; оказывается, что онъ есть еще въ четырехъ спискахъ: Vatic. 1167[3]) XIII в. л. $18^b$—$22^b$, Vatic. Barberin. 515 (прежн. V 11) 1244 г. л. $120^a$—$126^b$, Vatic. 402 1383 г.[4]) л. $178^a$—$183^b$ и Моск. Синод. Библ. 492 (434 по Владим.; t. II, XLVIII qu. по Matthaei) XVI в. л. $371^b$—$379^b$. Въ основу моего изданія кладу Vatic. 1167, а варіанты беру изъ Barberin. 515 (= B) и Моск. Син. Библ. 492 (= M); вставки изъ B и M заключены въ [ ], мои добавленія — въ ⟨⟩[5]).

1) Издана А. Дмитріевскимъ по неисправной кормчей Соловецк. библ. 495 (476) 1519 года съ варіантами изъ кормчей Кіевск. Церк.-Археол. Музея 138 XV—XVI вѣка («Опытъ изданія греч. церк. писателей древнѣйш. времени въ русск. патролог. литературѣ» прилож. № III въ Сборникѣ статей, посвященныхъ ... В. И. Ламанскому. Спб. 1907, ч. I, стр. 440—448).

2) В. Бенешевичъ, Кормчая Никифорова (Изв. Имп. Акад. Наукъ 1903, XVIII, № 4, стр. 29) и отсюда Дмитріевскій, l. c., стр. 426.

3) Этотъ замѣчательный номоканонъ описанъ Н. Красносельцевымъ (Свѣдѣнія о нѣкоторыхъ литургич. р-сяхъ Ватик. б-ки. Казань, 1885, стр. 61—63), но далеко не точно и не полно; постараюсь дать впослѣдствіи новое описаніе.

4) Запись на л. $232^a$: ἔτους ͵ϛωϟα΄ ἰνδικτ. ϛ΄ ἡμέρᾳ ε΄ ἐν μηνὶ μαρτίῳ. На л. 2 другая запись: αὕτη ἡ βίβλος πατριάρχου Μακαρίου καὶ γράμματα αὐτοῦ. ἀπεχαρίσθη δὲ αὕτη τῷ Ἀγάθωνι καὶ παρ' αὐτοῦ ἀνετέθη καὶ ἀφιερώθη τῇ σεβασμίᾳ μονῇ τοῦ πανενδόξου καὶ πανευφήμου ἀποστόλου καὶ πρωτομάρτυρος Στεφάνου. По содержанію это сборникъ догмат.-апологет. характера.

5) Данныя для характеристики произведенія смотри у К. Попова (Блаж. Діадохъ, еп. Фотикійскій. Кіевъ. 1903) и у Дмитріевскаго, l. c.

## ["Ορασις τοῦ ἁγίου[1]) Διαδόχου ἐπισκόπου Φωτικῆς τῆς Ἠπείρου[2])]*).

α'. Ἐρώτησις. Τί δὴ τοσοῦτον τὴν ἔρημον ἐθαύμασας, εἰπέ μοι δέομαί σου, νύκτωρ ἠρεμούσης μου τῆς ψυχῆς ἠρώτουν ὡσανεὶ παρόντα τὸν σοφὸν Ἰωάννην. ὦ πολύφημε καὶ μήτηρ ἐκκλησία[3]), τί περὶ τὸ ἄγριον ἐκεῖνο καὶ ἀνεπιμέλητον οὕτω θερμῶς, πάλιν ἔλεγον, διέκεισο πρόσωπον[4]); ἢ τί τὴν ἀνθρωπίνας ἀκοὰς θέρπουσαν[5]) βοὴν ἀψύχῳ[6]) οὕτως[7]) [ἡδέως] ἐβόας[8]) ἐν ἐρήμῳ; χαὐτὸς δὲ [μᾶλλον] ὡς αὐτός[9]) μοι παρεισελθὼν διελέχθη λόγοις.

Ἀπόκρισις. Καὶ πῶς, ἔφη, σοι λαλῆσαι δυνήσομαι, ὁ ἔξω που ὢν τοῦ φθαρτοῦ αἰῶνος τῷ τέως ἐν αὐτῷ ἕως [ὅτε] ὁ θεὸς θέλει[10]) ἐνδιάγοντι, φίλε;

β'. Ἐρώτησις. Δυνήσῃ[11]), ἔφην[12]), θαυμάσιε, τὸν[13]) ἐρωτᾷ[14]) σου τῆς σοφίας εἰ θελήσεις ὀφθῆναί μοι ἐν ἐρωτήσεσι λόγων· καὶ[15]) εἰ βούλει, συντεύξομαι[16]) εἰς αὐτὸ[17]) φθάσας τὸ χωρίον τῶν λόγων[18]), ἵνα σὺ μὲν διδάξῃς, ἐγὼ δὲ μάθω. τίνος δὲ[19]) χάριν ἔτριψας οὕτως τοῖς λόγοις καὶ τῷ βίῳ τὴν ἐρημίαν, ἀνδρεῖε[20]), πόλιν[21]) ἀρετῶν ἐκεῖσε συστησάμενος;

Ἀπόκρισις. Βίου[22]) μέν, ἔφη, καθαρότητος[23]) ἴχνος, ἐρημίας ὀσμή, πολιτικῶν δὲ ἠθῶν[24]) ἀπαλλαγὴ[25]) ἡ[26]) τῆς[27]) ἐκεῖσε[28]) σιωπῆς[29]) εὔσχημος[30]) θυμηδία[31])· καὶ διὰ τοῦτο τὴν ζάλην τῶν ἀνθρωπίνων ἐκεῖσε διαλύων λογισμῶν τῇ δυνάμει τῆς ἐπιμονῆς[32]) ἐπετέλουν[33]) ἐν πνεύματι, τὸ ῥῆμα περιμένων ἧσ[περ] ἐμνήσθης βοῆς.

γ'. Ἐρώτησις. Καλῶς. τί οὖν [δὴ] τὸ σχῆμα τῆς βοῆς; τοῦτο γὰρ τέως παρὰ σοῦ μαθεῖν ἐπείγομαι[34]).

Ἀποκρίσις. Τὴν τοῦ Ἰσραήλ, ἔφη, ὡμίλει[35]) κουφότητα· ἐπειδὴ γὰρ ἐκεῖνοι κηρίῳ ὥσπερ[εἰ] ἀγνωμοσύνης[36]) ἐσφράγισαν[37]) τὰς ἑαυτῶν ἀκοάς, ἀπωθούμενοι τὸν ἦχον τῆς γνώσεως τοῦ ὑψίστου, τὰ θηριώδη ἔθνη[38]) ἐκ τῶν ἐρήμων τόπων εἰς ἀπάντησιν προσεκαλούμην τῆς αὐτοῦ πίστεως, αἰνίγματι σαφεῖ μορφῶν τὴν θεωρίαν.

---

*) Вмѣсто всего этого заглавія, въ cod. есть только in m.: Ερωτήσεις καὶ ἀποκρίσεις πάνυ ὠφέλιμαι. Vatic. 402 добавл. in m. ἀποκάλυψις τοῦ ἁγίου Διαδόχου. Bodl. Canonic. 15: "Ορασις τοῦ αὐτοῦ ἁγίου Διαδόχου. Bodl. Barocc. 69: Αἱ παρὰ τοῦ θείου Ἰωάννου τοῦ Προδρόμου λυθεῖσαι ἀπορίαι τῷ ἁγίῳ Διαδόχῳ ἐν ὁράσει. 1) ἁγιωτάτου M. 2) τοῦ Ἰλλυρικοῦ добавл. M. 3) μῆτερ ἐκκλησίας M. 4) προσώπῳ B. 5) ἀνθρωπίναις ἀκοαῖς φέρουσαν B. 6) εὐψύχως M.; ἀψύχως B. 7) καὶ вставл. M. 8) ἐνεβόας B. 9) ὡσαύτως cod. (вм. ὡς αὐτός). 10) μέλλει B. 11) Συνήσῃ cod. 12) ἔφη M. 13) γὰρ вставл. M. 14) τῷ ἐρῶντί M. 15) καὶ проп. B. 16) καὶ вставл. M. 17) αὐτὸν B. 18) τὸν λόγον B. 19) δὴ M. 20) ἀνδρείαν B. 21) πάλιν cod. M. 22) Τίου cod. 23) καθαρωτάτου B καθαρωτέρου M. 24) πολιτικὸν δὲ ἦθος BM. 25) ἀπαλλαγὴ проп. B. 26) ἢ B; εἰ M. 27) τις M. 28) ἐκεῖ BM. 29) σιωπὴ M. 30) εὐσχήμως B. 31) οὐ μειδιᾷ BM, но въ M еще вставка ἢ οὕτως· πολιτικῶν δὲ ἠθῶν ἐκκοπὴ καὶ ἀποφυγὴ ἡ τῆς ἐκεῖσε σιωπῆς εὔσχημος ὁμιλία. 32) ὑπομονῆς BM. 33) ἀπετέλουν B. 34) ὀρέγομαι B; δέομαι M. 35) ἐδήλου M. 36) ἀγνωμοσύνῃ B. 37) ἐσφράγησε M. 38) τῷ θηριώδει ἔθει BM.

Digitized by Google

δ'. Ἐρώτησις. Καὶ τίς, ἔφην ἐγώ, ὁ τοῦ κηρυττομένου [σοι] σημάνας τὴν δύναμιν;

Ἀπόκρισις. Ῥῆμα, ἔφη, πατρικὸν ἐν πνεύματι ἐνεχθέν.

ε'. Ἐρώτησις. Πιστῶς. ἀλλὰ πῶς ὃν[1]) οὐκ ᾔδεις ἐπεγίνωσκες, εἰπέ μοι.

Ἀπόκρισις. Ἐν μορφῇ ἀνθρώπου κράτος ἑώρων[2]) θεῖον.

ς'. Ἐρώτησις. Ἐγὼ δέ σε καὶ τῆς τόλμης, ἔφην, ἐθαύμασα, θεσπέσιε.

Ἀπόκρισις. Ποίας; ἔφη.

ζ'. Ἐρώτησις. Ὅτι δὴ ἄνθρωπος ὢν υἱὸν ἐβάπτιζες θεοῦ.

Ἀπόκρισις. Τῇ ὑπακοῇ, ἔφη, τὴν τόλμαν[3]) ἰασάμην· ὑπακοῆς γὰρ οὐδὲν ταπεινότερον.

η'. Ἐρώτησις. Πάνυ γε ἐκ καρδίας ὄντως συντετριμμένης[4]) ὑπακοὴ τίκτεται;

Ἀπόκρισις. Ὀρθῶς, ἔφη, λέγεις.

θ'. Ἐρώτησις. Ἐγὼ δὲ πάλιν· πῶς τὴν μακαριότητα, ἔφην, ἐπέγνως τοῦ ἁγίου πνεύματος καὶ ταῦτα[5]) ἐν σχήματι καταπτάντος αὐτοῦ ἐκ τῶν οὐρανῶν ἐπὶ τὸν κύριον; ἐν περιστερᾶς γὰρ αὐτὸ[6]) ἐμαρτύρησας ἑωρακέναι εἴδει[7]).

Ἀπόκρισις. Ἄνεμοί[8]) τινες, ἔφη, χαρᾶς τὴν αὐτοῦ προελάμβανον ἄφραστον παρουσίαν καὶ ἡ ἐκ τῶν οὐρανῶν δὲ λοιπὸν ἀπηχηθεῖσα φωνή, ἥτις ὡσανεὶ δακτύλῳ τὸν υἱὸν ὑπεδείκνυεν[9]) ὑπὸ τοῦ πατρὸς μαρτυρούμενον, σαφῶς ἀπέδειξέ[10]) μοι τῆς περιστερᾶς ἐκείνης τὸ ἄπειρον[11]).

ι'. Ἐρώτησις. Ἱκανῶς. ἆρα δ', ἔφην, αὐτοῦ[12]) τοῦ πατρὸς ἦν ἡ ἀπηχηθεῖσα φωνή[13]) ἢ δυνάμεώς τινος, ἐκ προσώπου τοῦ θεοῦ κεκραγυίας;

Ἀπόκρισις. Αὐτοῦ τοῦ πατρός, [ἔφη].

ια'. Ἐρώτησις. Καὶ πῶς, ἔφην, εἰπέ μοι, αἰσθητῇ[14]) φωνῇ εἶχε χρήσασθαι ὁ ἐν ἀσωμάτῳ[15]) ὢν καὶ ἀοράτῳ φύσει;

Ἀπόκρισις. Οὐχ ὡς δι' ὀργάνου τινὸς φωνητικοῦ τὸ θεῖον, ἔφη, φθέγγεται[16]), ἀλλ' ὅτε θελήσει τὴν ἑαυτοῦ βούλησιν ἀκουστὴν γενέσθαι, ὡς φωνὴ ἡ βούλησις φθέγγεται τῷ[17]) ὑπὸ τῆς θείας νυττομένῳ ἐνεργείας. διὸ οὓς μὲν θέλει ἀκοῦσαι, ἀκούουσι, κἂν ἐμοῦ που ὦσιν οἱ ἀκοῦσαι ὀφείλοντες, καὶ οἱ[18]) μὴ τῆς ἀκοῆς ἐκείνης ἄξιοι ὄντες οὐκ ἀκούουσι[19]). διόπερ εἰς ἐκεῖνον μόνον τὸν τόπον, ὅπου ἐβαπτίσθη ὁ κύριος, ἠκούσθη ἡ φωνή· εἰ δὲ μὴ τοῦτο ἦν, πᾶς ἂν ὁ κόσμος ᾔσθετο τῆς[20]) ἐκ τοσούτου ὕψους φωνῆς ἀπηχηθείσης, κἂν ἀγγέλου ἦν ἡ φωνή. τοῦτο δὲ ἐκ τοῦ εὐαγγελίου μάλιστα τοῦ κατὰ τὸν θεσπέσιον Μάρκον ἔξεστι τῷ θέλοντι μανθάνειν· τῆς γὰρ ἐπὶ τοῦ ὄρους, ὅτε μετεμορφώθη ὁ κύριος, ἐνεχθείσης

1) πόσον B (вм. πῶς ὃν). 2) ἑώρουν M. 3) τόλμην B. 4) ὄντως συντετριμμένης B. 5) τὰ cod.; τότε B. 6) αὐτῷ M. 7) ἤδη M, но и надъ ἤ и надъ η надп. εἶ и ει. 8) Ἔνεμοι cod. 9) ἐπεδείκνυεν M. 10) ἄπορον M. 11) ὑπέδειξε B. 12) αὐτὴ cod. 13) ἥτις ὡσανεὶ δακτύλῳ τὸν υἱὸν ἐπεδείκνυεν ὑπὸ τοῦ πατρὸς μαρτυρουμένου вставл. M, но вычеркив. 14) τῇ вставл. M. 15) ἀσωμάτων M. 16) φθέγγεσθαι BM. 17) ὢ M. 18) εἰ M. 19) οὐκ ἀκούουσι проп. M. 20) τῆς проп. B.

Digitized by Google

φωνῆς μεμνημένος λέγει· «καὶ[1]) ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτούς, καὶ ἐγένετο[2]) φωνὴ ἐκ τῆς νεφέλης· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε»[3]).

ιβʹ. Ἐρώτησις. Ὀρθῶς, ἔφην, ἐδίδαξας. καὶ τὸ[4]) ἐν εἴδει ὦφθαι τὸ πνεῦμα τὸ ἅγιον καὶ ζωοποιὸν[5]) πῶς δεῖ νοεῖν; αἴδιος γὰρ καὶ ἀμετάβολος[6]), ὡς εἶπας. τίς οὖν οἶδεν, οἵα ὑπάρχει ἡ [θεία καὶ] μακαρία φύσις;

Ἀπόκρισις. Καὶ τοῦτο, ἔφη, τῆς ἐπὶ τῇ φωνῇ τοῦ πατρὸς ἐκεῖ θαυμάζειν θεωρίας· οὐ γὰρ τοῦ πνεύματος ἡ ἀόρατος καὶ ἀμετάβλητος φύσις εἰς τὸ τῆς περιστερᾶς μετεβλήθη εἶδος, ἵνα οὕτως ὡς[7]) ἤθελεν ὁραθῇ[8]), ἀλλ'[9]) ὁ τούτου[10]) καταξιωθεὶς τοῦ κάλλους τοῦτο εἶδεν, ἐν ᾧπερ ὁραθῆναι ἀνθρώπῳ τὸ θεῖον πνεῦμα καταβαῖνον ἐκ τῶν οὐρανῶν ἠθέλησεν, ὥστε[11]) βουλήσει[12]), ἔφη, ἐδείχθη τῷ θεασαμένῳ τὸ[13]) εἶδος, οὐ μὴν τὴν ἄρρητον καὶ ἀπερινόητον φύσιν ἐκείνην[14]) φαίη τις[15]) ἂν εἰς ἐκεῖνο τὸ μέτριον ὡς κατὰ συστολὴν σχηματισθεῖσαν τεθεωρηκέναι[16]) εἶδος. τοῦτον τοίνυν, ἔφη, τὸν τρόπον ὡς ἐν ὁράσει εἴδους εἶδον καὶ οἱ προφῆται τὸν θεόν· οὐ γὰρ αὐτὸς εἰς σχῆμα μεταβαλλόμενος αὐτοῖς ἐφαίνετο, ἀλλ' αὐτοὶ ὡς [ἐν] εἴδει δόξης ἑώρων τὸν ἀσχημάτιστον, βουλήσεως αὐτοῖς οὐ φύσεως ἐν εἴδει δεικνυμένης[17])· ἡ γὰρ τῆς βουλήσεως ἐνέργεια ὡς εἶδος αὐτῆς[18]) ἐν ταῖς ὀπτασίαις δηλαδὴ δόξης ἐφαίνετο διὰ τὸν ἐν εἴδει βουλῆς ἑαυτὸν[19]) ὅλως[20]) ὀφθῆναι θελήσαντα.

ιγʹ. Ἐρώτησις. Πῶς οὖν ἄρα ὁραθήσεται, ἔφην, ἐν τῷ ἀφθάρτῳ αἰῶνι ἀνθρώποις θεός;

Ἀπόκρισις. Ἀφθαρσία μέν, ἔφη, σώματος ἐγγὺς εἶναι κατὰ τὸν ἀληθῆ λόγον ἄνθρωπον ποιεῖ θεοῦ· οὕτω δὲ καὶ τότε ὁραθήσεται ἀνθρώποις θεός, ὡς δύναται πάλιν ἄνθρωπος ἰδεῖν θεόν.

ιδʹ. Ἐρώτησις. Οὐκοῦν, πάλιν ἔφην, ἐν σχήματι;

Ἀπόκρισις. Οὐκ, ἔφη, ἀλλ' ἐν ἀρετῇ δόξης[21])· διὸ οἱ τούτου μέλλοντες[22]) καταξιοῦσθαι ἐν τῷ φωτὶ μὲν ἔσονται διὰ παντός, τοῦ θεοῦ τῆς ἀγάπης[23]) ἀεὶ[24]) ἐν δόξῃ ἀπολαύοντες, τοῦ θείου δὲ καταλάμποντος αὐτοὺς[25]) φωτὸς τὴν φύσιν, οἵα τίς ἐστι κατανοῆσαι[26]) μὴ δυνάμενοι· ὃν γὰρ τρόπον χωρεῖται ὅπου θέλει θεὸς ἐν τῷ μένειν ἀχώρητος, οὕτω καὶ ὁρᾶται ἔνθα ἂν[27]) θέλῃ, ἐν τῷ μένειν ἀόρατος.

ιεʹ. Ἐρώτησις. Τί δὲ δεῖ νομίζειν ἀρετὴν θεοῦ;

Ἀπόκρισις. Κάλλος, ἔφη, ἀνείδεον ἐν δόξῃ μόνῃ γνωριζόμενον.

---

1) καὶ проп. M. 2) ἐγένετο проп. M. 3) сравн. Марка IX 7. 4) τὸ δὲ M (вм. καὶ τό). 5) τὸ ἅγιον καὶ ζωοποιὸν πνεῦμα BM. 6) ἀμετάβλητος M. 7) ἢ εἰ B. 8) ὠράθη BM. 9) καὶ M. 10) τοῦτο M. 11) ἐν εἴδει вставл. M. 12) βουλήσεως BM. 13) τὸ проп. BM. 14) ἐκείνην φύσιν M. 15) ἥτις BM. 16) τεθεώρηκεν BM. 17) δεικνυμένου M. 18) αὐτοῖς BM. 19) ἑαυτῆς cod.; αὐτὸν B; αὐτοῖς M. 20) ὅλως проп. BM. 21) ἐν ἀρετῆς δόξῃ M. 22) διὸ οἱ τούτου μέλλοντες проп. M, но оставляя пустое мѣсто. 23) τῆς ἀγάπης проп. M, оставляя мѣсто. 24) ὅτι M. 25) αὐτοῖς BM. 26) κατανοῆσαι проп. B. 27) ἐὰν M (вм. ἔνθα ἄν).

Digitized by Google

ις'. Ἐρώτησις. Ἐμοὶ δέ, ἔφην, ἡ δόξα ὥσπερ ὄψις τις ἐξοχωτάτη ἀνθρωπίνως νοεῖται.

Ἀπόκρισις. Μὴ οὕτως νόει, ἔφη· τῆς γὰρ ἀΰλου ἐκείνης καὶ μακαρίας φύσεως ὑπὲρ εἶδος εἶναι τὸ κάλλος[1]) πιστεύεται διὰ πολλὴν καθαρότητα, ὅθεν καὶ τὰ μηδέπω ὄντα[2]) ὡς παρόντα μόνος [ὡς] θεὸς καθορᾷ[3])· εἰ γὰρ ἐν εἴδει ἦν τινι[4]) ἡ φύσις ἐκείνη ἡ ἄφραστος, οὐκ ἂν τὰ μηδέπω ὄντα ἐθεώρει ὡς ὄντα.

ιζ'. Ἐρώτησις. Πῶς λέγεις;

Ἀπόκρισις. Ὅτι τὸ[5]) ἐν εἴδει ὅλως ὂν[6]) τινι οὐδὲν τῶν μελλόντων λέγεσθαι ἢ γίνεσθαι προειδέναι δύναται διὰ τὸ ἐν ὅρῳ[7]) αὐτὸ ὅλως ὑπάρχειν[8]) φύσεως, κἂν πᾶσαν αὐτοῦ ὥσπερ ὄψιν ἔχῃ[9]) τὴν φύσιν. διόπερ ὁ ἡμέτερος νοῦς ὀφθαλμῷ μέν τινι πλουσίῳ τὰ πάντα περισκοπεῖ, τῶν δὲ μελλόντων γίνεσθαι οὐδὲν εἰδέναι δύναται οὐδὲ[10]) μετὰ τὸ χωρισθῆναι τὴν ψυχὴν τοῦ σώματος, ὅτε ἡ πᾶσα [αὐτοῦ φύσις][11]) ὥσπερ ὀφθαλμός τις εἶναι[12]) πιστεύεται, ὅπερ καὶ περὶ[13]) τῶν οὐρανίων δυνάμεων προσήκει νοεῖν, οὗ[14]) ὄψις ὄντως ἡ πᾶσα φύσις εἶναι λογίζεται[15]).

ιη'. Ἐρώτησις. Τί οὖν ὅτι καὶ αὐτὰς καὶ τὴν ψυχὴν ὑπὲρ εἶδος εἶναι λογίζονταί τινες[16]);

Ἀπόκρισις. Μακράν, ἔφη, ἐκεῖνοι ὑπονοοῦσι λόγου· δεῖ μὲν[17]) γὰρ [τὸ] μήτε ἀγγέλους μήτε [τὴν] ψυχὴν ὁρᾶσθαι δύνασθαι, ἀσχημάτιστα αὐτὰ ὁμολογουμένως[18]) δεῖ νοεῖν ζῷα εἶναι[19]). δεῖ δὲ εἰδέναι, ὅτι ἐν ὄψει τινί εἰσιν καὶ νοὸς κάλλει καὶ ὅρῳ ὡς εἶναι τὴν[20]) τῶν νοημάτων εὐπρέπειαν εἶδος αὐτῶν καὶ κάλλος. διὰ τοῦτο ὅτε μὲν καλὰ φρονεῖ ἡ ψυχή, περιλαμπής ἐστιν ὅλη καὶ περίβλεπτος, ὅτε δὲ κακά, ἀφεγγὴς καὶ ἀθαύμαστος· ὥσπερ γὰρ[21]) αἱ ὑπὸ τῆς κόρης τοῦ ὀφθαλμοῦ ἁρπαζόμεναι σκιαὶ[22]) διὰ τὴν πολλὴν αὐτῆς καὶ[23]) ὀξεῖαν[24]) τρανότητα, ἥντινα[25]) αἴσθησιν δεῖ λέγειν τῆς ὀπτικῆς δυνάμεως (πρέπον γὰρ καὶ ἐκφαινομένου ὑποδείγματος τὸ ἀφανὲς τοῦτο ὡς δυνατὸν ὁμιλεῖσθαι θεώρημα), ὥσπερ εἴδη[26]) τῆς αὐτοῦ φαίνεται[27]) ἐνεργείας, οὕτω δὴ[28]) καὶ ὅπερ ἂν ἐκ τῆς αὐτοῦ[29]) ἁρπάσῃ ἐπιθυμίας ὁ νοῦς, ἐνθύμημα τοῦτο ὥσπερ εἶδος γίνεται τῆς ἐνεργείας τῆς ψυχῆς, ὅπερ ἐστὶν αὐτῆς διὰ πολλὴν λεπτότητα· ἐπὶ γὰρ τῶν ἀσωμάτων φύσεων ὅπερ ἂν κτήσηται ἡ ἐνέργεια, τοῦτο ὥσπερ τῆς φύσεως διὰ πολλήν, [ὡς ἔφην[30])], λεπτότητα γίνεται, κἂν τε μετὰ δόξης κἄν τε μετὰ πάθους τοῦτο συμβαίνῃ γίνεσθαι. ὅπερ καὶ ἐπὶ τῶν ἀποστάντων ἀγγέλων δεῖ νοεῖν· ἕως

---

1) φαίνεται вставл. M, но вычеркив. 2) καθαρότητα, ὅθεν καὶ τὰ μηδέπω ὄντα проп. B. 3) διὰ πολλὴν καθαρότητα ... θεὸς καθορᾷ проп. M. 4) τινι проп. BM. 5) τὸ проп. BM. 6) ὂν ὅλως B; ὢν ὅλως M. 7) ὁράσει BM. 8) ὑπάρχει cod. 9) ἔχῃς BM. 10) δύναται οὐδὲ проп. B. 11) вставка изъ M. 12) περὶ проп. M. 13) εἶναι τις B. 14) ἡ вставл. cod.; ὢν M. 15) δεδήλωται B. 16) τινες проп. B. 17) διὰ B (вм. δεῖ μὲν). 18) ὁμολογοῦμεν ὡς BM. 19) εἶναι ζῷα BM. 20) καὶ νοὸς... τὴν проп. B. 21) γὰρ проп. B 22) σκιαὶ проп. M. 23) καὶ проп. B. 24) ἀξίαν B. 25) καὶ вставл. B. 26) ἤδη BM. 27) φαίνονται BM. 28 δεῖ M; δὲ B. 29) ἑαυτοῦ BM. 30) ἔφη M.

Digitized by Google

μὲν γὰρ ἐφρόνουν τὰ πρέποντα ἀγγέλοις, αὐτὸ τὸ κάλλος[1]) τῶν νοημάτων εἰς εἶδος αὐτοῖς δόξης ἐγίνετο. ἐπεὶ δὲ τῶν θεοφιλῶν κατεφρόνησαν ἐννοιῶν, αὐτὴν τὴν εὐφροσύνην[2]) αὐτῶν εἰς εἶδος αἰσχύνης ἐκτήσαντο.

ιθ'. Ἐρώτησις. Οὐκοῦν, ἔφην, ὡς μὲν πρὸς τὴν τοῦ σώματος ἡμῶν πυκνότητα[3]) καὶ τὴν ψυχὴν καὶ τοὺς ἀγγέλους ἄϋλα δεῖ ζῷα[4])· λέγειν καὶ ἀνείδεα, ὡς δὲ πρὸς τὴν τῆς θείας φύσεως ἄπειρον καθαρότητα οὐκέτι φαίνεται;

Ἀπόκρισις. Πάσης μὲν[5]) γενέσεως ἀποτέλεσμα εἶδος, ἔφη[6]), τοῦ δὲ[7]) ἀεὶ ὄντος, γένεσιν[8]) δὲ οὐκ ἔχοντος, ὑπὲρ εἶδος ἀεὶ μόνον τὸ κάλλος[9]) πιστεύεται· οὐ γὰρ ἀπὸ[10]) γενέσεως ἀπετελέσθη, ἀλλ' ἐξ αὐτοῦ[11]) τὸ εἶναι ἔχει ἐν τῇ ὑπὲρ φύσιν φύσει.

κ'. Ἐρώτησις. Ἐμοὶ δὲ ἔτι τοῦτο περὶ τούτου, ἔφη[ν][12]), θέλοντι μαθεῖν φράσον· διὰ τί κάλλος λέγομεν ἐπὶ θεοῦ καὶ εἶδος οὐ λέγομεν; ἐν γὰρ τῷ εἴδει πάντως καὶ τὸ κάλλος θαυμάζεται.

Ἀπόκρισις. Ἐπειδὴ κάλλος θεοῦ ἡ[13]) δόξα ἐστὶ τῆς οὐσίας τοῦ θεοῦ.

κα'. Ἐρώτησις. Τί οὖν ἄρα, ἔφην, εἴποι τις ἂν εἰρηκέναι τὸν ψαλμῳδόν· «ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου»[14]);

Ἀπόκρισις. Τοῦτο, ἔφη, παρὰ τοῦ προφήτου εἴρηται, οὐχ ὡς ἐν προσώπῳ τινὶ ἢ σχήματι οὔσης τῆς θείας φύσεως, ἀλλ' ἐν τῷ εἴδει καὶ τῇ δόξῃ τοῦ υἱοῦ ὁ ἀνείδεος ἡμῖν[15]) πατὴρ ὀφθήσεται· διὰ τοῦτο γὰρ ηὐδόκησεν ὁ θεὸς τὸν λόγον αὐτοῦ εἰς τὸ ἀνθρώπινον ἐλθεῖν διὰ τὸ[16]) τῆς σαρκώσεως εἶδος μένοντα (πῶς γὰρ οὔ;) ἐν τῇ αὐτοῦ παντοδυνάμῳ δόξῃ, ἵνα εἰς τὴν πυκνότητα τοῦ σχήματος τῆς ἐνδόξου ἐκείνης σαρκὸς ἀποβλέπων ἄνθρωπος[17]) (εἶδος γὰρ εἶδος ὁρᾷ) μετὰ τὸ καθαρθῆναι διὰ[18]) τῆς ἀναστάσεως δύναται[19]) τὸ κάλλος ὁρᾶν ὥσπερ ἐπὶ θεοῦ. οὕτως οὖν ὁ μὲν πατὴρ κρυφοφανεῖ τρόπῳ ὀφθήσεται τοῖς δικαίοις, ὃν τρόπον νῦν τοῖς ἀγγέλοις φαίνεται, ὁ δὲ υἱὸς διὰ τὸ σῶμα φανερῶς· πρέπον γὰρ ἀληθῶς τοὺς μέλλοντας εἰς αἰῶνας βασιλεύεσθαι ὑπὸ θεοῦ γνωστῶς[20]) μέλλειν ἀεὶ ὁρᾶν τὸν ἑαυτῶν ἄρχοντα, ὅπερ ἀδύνατον ἦν, εἰ μὴ διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ εἰς εἶδος ὁ θεὸς λόγος παρῆν.

κβ'. Ἐρώτησις. Πιστῶς καὶ κατὰ λόγον, ἔφην, ἐδίδαξας, ὦ λόγε, τὴν Ἰωάννου μοι στήλην διὰ παντὸς δεικνύων. λοιπὸν δὲ τὸ λεῖπον[21]), ἔφην, τῆς περὶ τῶν ἀγγέλων, παρακαλῶ σε, ἀπόδος θεωρίας, ὅπερ καὶ τῷ περὶ[22]) ψυχῆς, οἶμαι, ἁρμόττειν μετὰ τὴν τοῦ σώματος ἀνάστασιν λόγῳ.

Ἀπόκρισις. Ποῖον τοῦτο; ἔφη.

---

1) καλὸν BM. 2) ἀφροσύνην BM. 3) γυμνότητα B. 4) ζῷα δεῖ B. 5) γὰρ вставл. B. 6) ἔφη проп. B. 7) ἐπὶ δὲ τοῦ B (вм. τοῦ δὲ). 8) γενέσθαι B. 9) μόνου τοῦ κάλλους B. 10) ὑπὸ B. 11) ἑαυτοῦ M. 12) ἔφην περὶ τούτου BM. 13) ἡ проп. BM. 14) Псал. XVI (XVII) 15. 15) ἡμῶν B. 16) τὸ проп. BM. 17) ἄνθρωπος ἀποβλέπων BM. 18) διὰ проп. BM. 19) δύνοι B; δύνοιτο M. 20) γνωστὸς B. 21) λεπτόν μοι BM. 22) τῆς вставл. M.

Digitized by Google

κγ΄. Ἐρώτησις. Οἱ[1]) ἄγγελοι ἐν αἰσθήσει εἰσὶν ἢ οὔ;

Ἀπόκρισις. Κατὰ μὲν τὸν τῆς γνώσεως, ἔφη, λόγον ἐν αἱρετῇ[2]) τινι ἐτύγχανον γνώσει[3]) κατὰ τὸν αὐτεξούσιον λόγον· διὸ καί τινες ἐξ αὐτῶν πάθει δουλεύσαντες ἔπεσον. ἐπειδὴ δὲ ὑπὸ τῆς τοῦ θείου καὶ ἐνδόξου πνεύματος δοξολογίας οἱ μὴ συναπαχθέντες τῇ ἀποστασίᾳ ἀσινεῖς[4]) διεφυλάχθησαν εἰς ἀπάθειαν, κρείττονές εἰσι καὶ αἰσθήσεων, ἐν ἡδονῇ δέ τινι ἀτρέπτου δόξης ὑπάρχουσιν, ὅθεν καὶ ὅμοια αὐτοῖς ἐστι διὰ πάντων τὰ [δια]νοήματα· οὐ γὰρ μόνον ὁμοίως γινώσκουσι τὰ καλά, ἀλλὰ καὶ ὁμοίως ἀγνοοῦσι ταῦτα[5]) [τὰ] τούτοις ἐναντία, ὅπερ καὶ ἐπὶ τῶν δικαίων [ἐν τῇ ἀναστάσει] γενήσεσθαι ἐλπίζεται, ὅταν ὁ καρπὸς τῶν αὐτεξουσίων ἐν ὑποταγῇ τελείᾳ παρ' αὐτῶν προσενεχθῇ[6]) τῷ θεῷ.

κδ΄. Ἐρώτησις. Ὀρθῶς. ἆρα δ', ἔφη[ν], φωνῇ ποιοῦνται τὴν ὑμνῳδίαν αἱ ἐπουράνιαι ἐκεῖναι καὶ ἅγιαι δυνάμεις, ἢ ἐνδιαθέτῳ[7]), ὥς τινες ὑπονοοῦσι, λόγῳ;

Ἀπόκρισις. Φωνῇ, ἔφη· εἰ γὰρ φλόγες[8]) πυρός, ὡς αἱ γραφαὶ δηλοῦσιν, ὁμολογοῦνται εἶναι, δῆλον ὅτι φωνῇ τινι ἐξόχῳ ὑμνοῦσι τὸν θεόν· διόπερ[9]) καὶ[10]) πολλοὶ[11]) τῶν ἁγίων πολλάκις[12]) τῆς φωνῆς αὐτῶν ἐν ὀπτασίᾳ αἰσθάνονται, ὡς αἱ γραφαὶ δηλοῦσιν[13]).

κε΄. Ἐρώτησις. Δῆλον, ἔφην. ἀλλ' ἴσως τινὲς ἐροῦσιν, ὅτι κατὰ τὸν περὶ τῆς θείας φωνῆς ἀποδοθέντα λόγον καὶ ὁ περὶ τῆς τῶν ἀγγέλων φωνῆς λόγος ὀφείλει θεωρεῖσθαι.

Ἀποκρισις. Θεῷ μέν, ἔφη, ἐπειδὴ πάντα δυνατά, διὰ τοῦτο καὶ ὡς λαλῶν, ὅτε θέλει, δείκνυται ἐπάνω τούτων μένων, ὡς μόνος ὢν ἄϋλος. ἀγγέλοις δὲ τοῦτο ἀδύνατον ποιῆσαι· εἰ γὰρ μὴ λαλοῦντες καὶ αὐτοὶ ὡς λαλοῦντες ἠδύναντο ὅτε ἐβούλοντο δείκνυσθαι, ἠδύναντο καὶ ὅπερ ἂν ἤθελον ἐξ οὐκ ὄντων ποιεῖν.

κϛ΄. Ἐρώτησις. Μάλα καλῶς. τί δὴ καὶ περὶ τῆς ψυχῆς, ἔφη[ν, τῆς] χωριζομένης τοῦ σώματος[14]) δεῖ νοεῖν;

Ἀπόκρισις. Ἡ ψυχή, ἔφη, χωρισθεῖσα τοῦ σώματος, ἕως ὅτε διὰ τῆς ἀναστάσεως ἀπολάβοι τὸ σῶμα, ἐνδιαθέτῳ λόγῳ ὁμολογουμένως ὑμνεῖ τὸν θεόν, ἐπειδὴ ἐν σώματι ὅλως τὸ λαλεῖν εἴληφεν· οἱ δὲ ἄγγελοι ἐπειδὴ ἐν ἁπλῇ τινί εἰσι καὶ φιλήχῳ φύσει δεδημιουργημένοι, ἀκαταπαύστοις φωναῖς, ὡς ἐγνώκαμεν, κέχρηνται, οὐχ ὡς δι' ὀργάνου τινὸς σωματικοῦ φθεγγόμενοι, ἀλλ' αὐτὴν ὥσπερ[15]) ἀεικινησίαν πρὸς αἰτίαν ἤχου τινὸς ἔχοντες[16]) ἐξαίσιον· τὸ γὰρ ἀερῶδες[17]) αὐτῶν τῆς φύσεως λίαν φιλῳδὸν τυγχάνον εἰς ἄπαυστον ἀεὶ[18]) αὐτοὺς προτρέπεται καὶ τρανοτάτην βοήν.

1) неразборчиво одно начальное слово въ cod.; οὐράνιοι вставл. B. 2) ἀρετῇ B. 3) αἰσθήσει BM. 4) τῆς ἀποστασίας ἀσινῆ B. 5) ταῦτα проп. M. 6) προσενεχθεῖναι M. 7) ἐνδιαθέτως B. 8) ἐν φλογὶ B. 9) διὸ M. 10) καὶ проп. M. 11) φωνῇ τινι ... πολλοὶ проп. B. 12) πολλάκις τῶν ἁγίων M. 13) ὡς αἱ γραφαὶ δηλοῦσιν проп. B. 14) τῷ σώματι M. 15) τὴν вставл. M; τινὰ вставл. B. 16) ἔχοντος M. 17) αὐρῶδες B. 18) ἀεὶ проп. B.

Digitized by Google

κζ'. Ἐρώτησις. Σαφῶς· ποίῳ δ' ἄρα, ἔφην, τρόπῳ δεῖ νοεῖν εἰς εἶδος αὐτοὺς μεταβάλλεσθαι, ὅταν [1]) παρὰ θεοῦ πρός τινα τῶν ἁγίων ἀποστέλλωνται [2]);

Ἀπόκρισις. Ξένον μέν, ἔφη, ἀκοῆς τὸ ἐρώτημα καὶ [3]) ἀποκρίσεως διὰ τοῦτο ἀστοχοῦν· πλὴν δεῖ λογίζεσθαι, ὅτι εἰς ὅπερ ἂν κελευσθέντες ἐνθυμηθῶσιν [ἐλθεῖν] [4]) εἶδος, ἑτοίμως εἰς τοῦτο τῇ φαντασίᾳ ἔρχονται, εὐχερῶς τῆς φύσεως αὐτῶν τῇ θελήσει ὑπουργούσης διὰ πολλὴν ἀραιότητα· πυκνουμένης [5]) γὰρ ὥσπερ τῇ δυνάμει τῆς θελήσεως, ἐκ τοῦ μὴ φαινομένου εἰς τὸ φαινόμενον ἀνεμποδίστως τῇ φαντασίᾳ ἔρχονται, ἐν ᾧπερ ἄν, ὡς ἔφην, σχήματι ὀφθῆναι τῇ καθαρᾷ ψυχῇ θέλουσι [6])· καθαρᾶς γάρ ἐστι [7]) μόνης [8]) ψυχῆς τῆς [9]) πνευματικῆς ἰδεῖν δυνηθῆναι γνωστῶς τὸ εἶδος τῆς φαντασίας [10])· ἐὰν γὰρ μὴ τὸ [11]) πρὸς φαντασίαν καλούμενον τῇ τοῦ φαντάζοντος συντρέχει διαθέσει, οὐδαμῶς δύναται ἀγγέλου καὶ ἀνθρώπου φανερῶς γενέσθαι συνουσία. διόπερ καὶ αἰσθητῇ τότε κέχρηνται φωνῇ, τὸ σχῆμα τῆς φαντασίας καὶ τῆς φωνῆς διὰ τὴν εἰρημένην, ⟨ὡς⟩ ἐμοὶ δοκεῖ, αἰτίαν μιμουμένης.

κη'. Ἐρώτησις. Πιθανῶς. ἔτι δέ μοι τοῦτο, ἔφην, παρακαλῶ σε, ὦ διδάσκαλε λόγε, πρὶν ἐπιστῆναι [12]) τὴν ἡμέραν φράσον (οἶδα γὰρ ὅτι ἐπελθούσης αὐτῆς εὐθέως ἀποστήσῃ· οὐ φέρεις γὰρ παριστάναι [13]) ψυχῇ πρὸς τὸ λαλεῖν)· λοιπὸν ἡ ὥρα [14]) τὰ τοῦ βίου πτερυσσόμενα [15]) σχήματα [16]), εἰ [17]) ἀποστελλόμενοι [18]) παρὰ θεοῦ οἱ [19]) ἄγγελοι ἐπὶ τῆς γῆς ἐν ᾧπέρ εἰσι χρόνῳ ἐν τῷ κόσμῳ, οὐ τῆς ἐν οὐρανοῖς αὐτῶν διατριβῆς ἀπολιμπάνονται;

Ἀπόκρισις. Ἀδύνατον μέν, ἔφη, ἐν ᾧπέρ εἰσι χρόνῳ ἐν τῷ κόσμῳ, εἶναι αὐτοὺς τῷ αὐτῷ τρόπῳ καὶ ὑπεράνω τοῦ οὐρανοῦ· τοῦτο γὰρ μόνου τοῦ ἐνανθρωπήσαντος θεοῦ λόγου ὑπάρχει ἴδιον τοῦ καὶ ἐν τῇ γῇ ταύτῃ φαινομένου ἀφαντάστως καὶ τῶν ἐπουρανίων μὴ ἀπολειπομένου [20]), ἀλλὰ [καὶ] πάντα [ὡς ἀεὶ] περιέχοντος διὰ τὸ τῆς [θείας] φύσεως αὐτοῦ ἀπερίγραπτον. δεῖ δὲ εἰδέναι, ὅτι ὅπου ἐὰν ὦσι πᾶσαι ἐκεῖναι [αἱ] ἀγγελικαὶ δυνάμεις, οὕτω τὰ ἐπουράνια πάντα καὶ τὰ ἐν κόσμῳ [21]) ἐνορῶσι πράγματα, ὡσανεὶ [22]) περὶ αὐτὸ [23]) δι' ὅλου [24]) κείμενοι [25])· τὸ γὰρ ἀερῶδες [26]) αὐτοῦ [27]) [καὶ διαυγὲς] [28]) τῆς φύσεως καὶ τὸ ὥσπερ ὄψιν αὐτοῦ [29]) πανταχόθεν ὑπάρχειν [30]) διὰ τὴν χάριν μάλιστα τοῦ ἁγίου πνεύματος, οὕτως [31]) ἅπαντα [32]) ποιεῖ [33]) αὐτὰς καθορᾶν. ὁ θεὸς δὲ μόνος καὶ τὰ μέλλοντα ἐγγὺς καθορᾷ [34]), ὡς ὑπὲρ τὰ πάντα ὤν, καὶ οὐ μόνον τὰ ὄντα, ἀλλὰ καὶ τὰ [35]) ὁτεδήποτε ἐσόμενα ὡς ἤδη παρόντα τῇ δόξῃ περιέχων· διόπερ καὶ μόνος βουλὰς καρδιῶν οἶδεν.

---

1) ὅτε B. 2) ἀποστέλλονται cod. 3) κατ' B. 4) вставка изъ M. 5) πυκνομένης cod; πυκνουμένη BM. 6) θελούσῃ B. 7) ἔστι B. 8) μόνον BM. 9) καὶ M. 10) αὐτῶν вставл. M. 11) τὸ μὴ B. 12) μοι вставл. BM. 13) παρεστάναι BM. 14) ἢ ὁρᾷ B; не слѣдуетъ ли читать: εἰ ὁρατὰ. 15) πτερυσσόμενος B. 16) ἡ ὥρα ... σχήματα проп. M. 17) ἢ B; ἦ M. 18) ἄγγελοι вставл. M, но вычеркнв. 19) οἱ проп. B. 20) ἀπολιπομένου cod.; ἀπολιμπανομένου M. 21) ἐγκόσμια B. 22) ὡς ἂν ἡ M. 23) αὐτὰς BM. 24) ἦνε вставл. M. 25) κείμενα BM. 26) αὐρῶδες B. 27) αὐτῶν B. 28) вставка изъ M. 29) αὐτὴν BM. 30) παρέχειν B. 31) οὕτως проп. M. 32) ἅπαντας B. 33) ποιεῖν M. 34) ὁρᾷ BM. 35) τὰ проп. B.

Digitized by Google

κϑ΄. Ἐρώτησις. Οὐκοῦν καὶ ἡ ψυχή, ἔφην[1]), χωρισϑεῖσα τοῦ σώματος κατὰ τὸν περὶ τῶν ἀγγέλων ἀποδοϑέντα λόγον οὐ μόνον τὴν τῶν ἀσωμάτων ἐνοπτρίζεται χώραν, ἀλλὰ καὶ πάντα τὰ ἐν κόσμῳ ὁμοίως ὁρᾷ;

Ἀπόκρισις. Ἥκιστα, ἔφη· οἱ μὲν γάρ, ἐπειδὴ ἐν ἁπλῇ ἅπαξ ἐδημιουργήϑησαν φύσει, οὐ μόνον τὰ ἐν τόπῳ[2]), ἀλλὰ καὶ τὰ ὑπὲρ τόπον[3]) δύνανται πάντως[4]) ὁρᾶν· ἀραιᾶς γὰρ φύσεως ἴδιον μὴ ὁρᾶσϑαι μὲν παρὰ τῶν ἐν πυκνότητι φύσεως ὄντων, ὁρᾶν δὲ πᾶσαν <τὴν> τοιαύτην[5]) φύσιν. ἡ δὲ ψυχή, ἐπειδὰν χωρισϑῇ τοῦ σώματος, οὐκέτι δύναται τὰ ἐν τόπῳ[6]) ὁρᾶν· ὅτι πνεῦμα γάρ, φησί, διῆλϑεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτῆς[7])· ἐπειδὴ γὰρ διὰ τῆς συγκράσεως [τοῦ σώματος] ἐν τόπῳ γίνεται, ἀνάγκη πᾶσα[8]) χωρισϑεῖσαν αὐτὴν τοῦ σώματος μηκέτι ταῦτα ὁρᾶν, ἅπερ ἑώρα διὰ τοῦ σώματος[9]), ὅτι ὁ μὲν ἄνϑρωπος[10]) ἐν τῇ συγκράσει τὸ ὁλόκληρον ἔχει, οἱ δὲ ἄγγελοι ἐν ἁπλότητι φύσεως.

Ταῦτα μόνα ἤ[11]) καί τι ἕτερον ὁ τὴν Ἰωάννου μοι σοφίαν ὑπαγορεύσας ἐφανέρωσεν λόγος, ὦ πολυστέφανε καὶ φωτοφόρε βασιλεῦ· ἐπιστάσης γὰρ ἀπέπτη τῆς ἡμέρας[12]), διψῶντα με πάλιν[13]) τῆς αὐτοῦ καταλιπὼν[14]) [σοφίας τε καὶ][15]) φιλίας.

---

1) ἔφη M. 2) τὰ ἐν τόπῳ B. 3) τὰ ὑπὲρ τόπον B. 4) ἄν πως B. 5) τὴν τοιαύτην πᾶσαν BM. 6) τὰ ἐν τόπῳ δύναται BM. 7) αὐτοῦ BM. 8) πᾶσαν B. 9) διὰ τὸ σῶμα B. 10) ἅπερ ἑώρα ... ἄνϑρωπος проп. M, но оставл. пробѣлъ. 11) εἰ cod.; ταὐτὸν μὲν ὢν M (вм. Ταῦτα μόνα εἰ). 12) словомъ ἡμέρας оканчивается текстъ въ Vatic. 402. 13) ἔμπαλιν διψῶν B (вм. διψῶντα με πάλιν). 14) καταλιπόντα B. 15) вставка изъ B.

Digitized by Google

Digitized by Google

ЛОРАНИ
50 к.

Цѣна 25 коп.; Prix 60 Pf.

Продается у комиссіонеровъ Императорской Академіи Наукъ:
И. И. Глазунова и К. Л. Риккера въ С.-Петербургѣ, Н. П. Карбасникова въ С.-Петербургѣ, Москвѣ, Варшавѣ и Вильнѣ, Н. Я. Оглоблина въ С.-Петербургѣ и Кіевѣ, Н. Киммеля въ Ригѣ, Фоссъ (Г. В. Зоргенфрей) въ Лейпцигѣ, Люзакъ и Комп. въ Лондонѣ.

Commissionnaires de l'Académie Impériale des Sciences:
J. Glasounof et Ricker à St.-Pétersbourg, N. Karbasnikof à St.-Pétersbourg, Moscou, Varsovie et Vilna, N. Oglobline à St.-Pétersbourg et Kief, N. Kymmel à Riga, Voss'Sortiment (G. W. Sorgenfrey) à Leipsic, Luzac & Cie à Londres.

Digitized by Google